σύνδουλοι, ἐπειδὴ νεώνητος καὶ ἀδρανής εἰμι, παραχωρήσατέ μοι τὸ ἐλαφρότερον φορτίον ἆραι. Οἱ δὲ φασίν, ἐὰν οὐ δύνῃ, μηδὲν ἄρῃς. Αἴσωπος λέγει, ἀποπληκτόν ἐστι, πάντων ὑμῶν κοπιώντων, ἐμὲ μόνον τῷ δεσπότῃ ἄχρηστον καὶ ἀνωφελῆ τυγχάνειν. Οἱ δὲ φασίν, ὃ θέλεις, ἆρον. Ὁ δὲ περιβλεψάμενος ὧδε κἀκεῖσε, θεωρεῖ σκεύη διάφορα καὶ ἄλλα τὰ πρὸς ἐκδημίαν τε καὶ χρείαν, σάκκους, στρώματα καὶ γοργάθους. ἰδὼν δὲ ἕνα γοργάθον μεστὸν ἄρτων, ὃν ἐβούλοντο δύο ἆραι, εἶπεν, ἐμοὶ τοῦτον φορτώσατε. Οἱ δὲ γελάσαντες, εἶπον, τί μωρότερον τοῦ λυδαίου τούτου καθάρματος τυγχάνει. ἄρτι γὰρ παρεκάλει τὸ, πάντων ἐλαφρότατον φορτίον ἆραι, καὶ νῦν τὸ βαρύτερον ἁπάντων ἐξελέξατο, ἵνα ἐπιθυμίαν αὐτοῦ πληρώσωμεν. Καὶ ἐπιλαβόμενοι τιθέασιν ἐπ᾽ αὐτὸν τὸν γοργάθον. Καὶ εὐθέως ἐκίνησεν ὧδε κἀκεῖσε